## ΚΕΦ. ΠΕΜΠΤΟΝ.

## Περὶ Ἀναπτύξεως τῶν Ἐννοιῶν· Ἔνθα,

### Περὶ Ὁρισμοῦ καὶ Διαιρέσεως.

§. ριαʹ.

Ἐννοίας ἀνάπτυξιν ἀποκαλῶ, τὴν ταύτης εἴτε εἰς ἁπλουστέρας, ἐξ ὧν αὐτῇ τὸ βάθος συμπληροῦται (§. πδʹ.) ἀνάλυσιν, εἴτ᾽ εἰς μερικωτέρας ἄλλας ἐφ᾽ ὧν αὐτῆς τὸ πλάτος εὐρύνεται (§. πϛʹ.) διαίρεσιν. Οὕτως ἀναλύεται μὲν τὸ τρίγωνον εἰς τὴν τοῦ σχήματος ἰδέαν, καὶ τὴν τριῶν πλευρῶν, καὶ γωνιῶν τοσούτων. Διαιρεῖται δὲ εἰς τὸ εὐθύγραμμον τρίγωνον, καὶ τὸ καμπυλόγραμμον. Διὸ ἡ μὲν Ἀνάλυσις τῇ ἐννοίᾳ ὡς ὅλῳ ἐνεργείᾳ εἰς τὰ ἐνυπάρχοντα παρεπηδεῖ, ἡ δὲ Διαίρεσις ὡς ὅλῳ δυνάμει εἰς τὰ ὑποτασσόμενα (§. πθʹ.).

§. ριβʹ. Ἀπ᾽ ἐναντίας ἡ Ἀνάλυσις τῶν ἐννοιῶν χωρεῖ τῇ Συγκρίσει, ἃ γὰρ ἐκείνη συνῆπτε, καὶ εἰς ἓν ἦγεν, ἀπὸ τῶν ἁπλουστέρων ἐπὶ τὰ ἧττον ἁπλᾶ μεταβαίνουσα (§. οαʹ. οβʹ. ογʹ.) διΐστᾷ αὕτη, καὶ χωρὶς τίθησιν, ἀπὸ τῶν μᾶλλον συνθέτων ἐπὶ τὰ ἧττον ἐπαναλύουσα. Ὡσαύτως ἀντιβαίνει καὶ ἡ Διαίρεσις τῇ Ἀφαιρέσει· τῆς μὲν γὰρ ἦν ἀπὸ τῶν ἐπὶ μέρους ἐπὶ τὰ κοινὰ ἀνατρέχειν· (§. πβʹ.), τῆς δὲ ἐστὶ, τὸ ἀπὸ τούτων ἐπ᾽ ἐκεῖνα ἀναποδίζειν. Διὸ καὶ ἀντιπαθεῖ ὅλως, ἡ τῶν ἐννοιῶν διαίρεσις τῇ ἀναλύσει, ὥσπερ καὶ τῇ ἀφαιρέσει ἡ σύγκρισις.

§. ριγʹ. Τῆς οὖν τῶν ἐννοιῶν Ἀναλύσεως, βαθμηδὸν ἡ πρόοδος κατὰ τὸ μᾶλλον καὶ μᾶλλον χωρεῖ ἐπὶ τὰ ἁπλούστερα, ὥσπερ δὴ καὶ τῆς ἀντιθέτου συγκρίσεως (§. ογʹ.) ἐχώρει ἐπὶ τὰ ἐκ τῶν ἁπλῶν. Ἀναλύουσι γὰρ ἅπαντα τῶν γνωρισμάτων γνωρίσματα, τῶν πρώτων δεύτερα, καὶ τῶν δευτέρων τρίτα, καὶ ἑξῆς, ἄχρι τῶν ἁπλουστάτων· οἷον ἀνθρώπου γνωρίσματα τό, τε ζῶον εἶναι καὶ τὸ λογικόν· ζώου δὲ τὸ ἔμψυχον, καὶ τὸ αἰσθητικὸν· ἐμψύχου δὲ τὸ τρέφεσθαι, καὶ αὔξειν, ἢ φθίνειν, καὶ γεννᾷν ὅμοιον· ἀεὶ οὕτω πρόσω τῆς προόδου βαινούσης κατὰ δια-



νοίας ἀφαίρεσιν (§. οεʹ. οθʹ.), καὶ τῷ βάθει τῆς ἐννοίας συμπροϊούσης ἀνάλογον. Ἡ δὲ ἀβαθὴς ἔννοια (§. πεʹ.), ὡς ἀδιαγνώριστος, (§. μγʹ.), καὶ ἁπλουστάτη (§. μβʹ.), ἀνεπίδεκτος ἐστὶν ἀναλύσεως.

§. ριδʹ. Παραπλησίως δὲ πρόοδός τις θεωρεῖται καὶ τῆς Διαιρέσεως ἀπὸ τῶν μᾶλλον ἐπὶ τὰ ἧττον ἁπλᾶ, ὥσπερ καὶ τῆς ἀντιθέτου ἀφαιρέσεως (§. οθʹ.) ἀντιθέτως ἀπὸ τῶν ἧττον ἐπὶ τὰ μᾶλλον. Διαιροῦντες γὰρ κάτιμεν ἀπὸ τῶν ἀνωτέρω ἐπὶ τὰ κατωτέρω, κἀκ τούτων ἔτι ἐπὶ τὰ ὑποβεβηκότα, καὶ ἑξῆς ἄχρι τῶν κατωτάτω· οἷον τῆς οὐσίας ἡ μὲν σῶμα, ἡ δὲ πνεῦμα· καὶ τοῦ σώματος τὸ μὲν ἔμψυχον, τὸ δὲ ἄψυχον· καὶ τοῦ ἐμψύχου τὸ μὲν αἰσθητικὸν, τὸ δ᾽ ἀναίσθητον· ἀεὶ ἐπέκεινα τῆς προόδου γινομένης διὰ συγκρίσεως (§. ογʹ.), καὶ τῇ ἀπὸ τοῦ πλάτους τῆς ἐννοίας στενώσει συμπροαγομένης ἀνάλογον. Ἡ γὰρ ἀπλατὴς ἔννοια (§. ϙʹ.), ὡς ἕν τι καὶ μόνον παριστάνουσα, ἄτομός τε ἐστὶ, καὶ πάντῃ ἀδιαίρετος.

§. ριεʹ. Χρεία δὲ τὰς ἐννοίας πολλάκις ἀναπτύσσειν ἐπιχειρεῖν καθ᾽ ἑκάτερον. Καὶ ποτὲ μὲν τούτων τὰ γνωρίσματα ἐκτιθέναι, ἐν οἷς χαρακτηρίζονται, ποτὲ δὲ, τὰ ὑποβεβηκότα, καθ᾽ ὧν ὡς μερῶν ἐπιθεωροῦνται· ὧν τὸ μὲν ὁρίζειν ἐστὶ, τὸ δὲ διαιρεῖν. Ἀλλὰ περὶ Ὁρισμοῦ τε, καὶ Διαιρέσεως, ὧν οὐκ οἶδ᾽ εἴτι ἄλλο εἰς πορισμὸν ἐπιστήμης συντελέστερον, ἐν μέρει διαληπτέον.

### Περὶ Ὁρισμοῦ.

§. ριϛʹ.

Ὁ τοίνυν Ὁρισμὸς, γνωρισμός τις ἄντικρυς ὢν τοῦ ὁριζομένου (1), οὐδὲν ἀλλ᾽ ἤπερ ἡ εἰρημένη (§. ριαʹ. κζʹ.) ἀνάλυσις ἐστὶ τῆς ἐννοίας εἰς τὰ ἐν αὐτῇ γνωρίσματα (2), δι᾽ ὧν ἐναργῶς τε καὶ εὐκρινῶς τὸ νοητὸν (§. νεʹ. νθʹ.) ἀναπτυχθὲν κατανοεῖ-

(1) Ὁ ὁρισμὸς οὐσίας τις ἐστὶ γνωρισμός. Ἀριστ. ὑστέρ. Ἀναλ. Βιβ. Βʹ. Κεφ. γʹ.

(2) Ὅρος δὲ ἐστὶν (ὥς φησιν Ἀντίπατρος ἐν τῷ πρώτῳ περὶ ὅρων) „λόγος κατὰ ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος. (Λαέρτ. εἰς βίον Ζήνων. Καὶ Σουίδ. ἐν Λέξ. ὅρος).